# Παράκληση εις την Οσίαν Μαρία την Αιγυπτία



Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ' (142) Ψαλμόν.
Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησιν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ σοῦ καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιον σου πᾶς ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν ἐπ' ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσον μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου μή ἀποστρέψῃς τό πρόσωπον σου ἀπ' ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί  σοί ἤλπισα γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μοῦ ἐξελοῦ μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μοῦ τό πνεῦμα σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματος σου, Κύριε, ζήσεις μέ, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλος σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β'. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος γ’. Παρά Κυρίου ἐγένετο αὔτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν. Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Ἀπαμαυρώσασα συντόνῳ ἀσκήσει τοῦ παναλάστορος, ὁσία Μαρίᾳ, τό πρόσωπον ἀνέδραμες συνεῖναι Χριστῷ ἐν τοῖς θείοις δώμασι καί Αὐτόν ἱκετεύειν δοῦναι τοῖς ἱκέταις σου εἰρηναῖον τόν βίον καί νοσημάτων τάραχον δεινόν ἡμῶν κοπάσαι, Αἰγύπτου ὀσφράδιον.

Δόξα. Τό αὐτό. Καί Νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν πότε, Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα τις ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τις δε διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σου σούς γάρ δούλους σῴζεις ἀεί ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημα μου. Ἐπί πλεῖον πλῦνόν με ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιον μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιον Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαι Σε. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας, τά ἄδηλα καί τά κρύφια τῆς σοφίας Σου ἐδήλωσας μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπον Σου ἀπό τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψῃς με ἀπό τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μή ἀντανέλῃς ἀπ’ ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τά χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσιν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σίων καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί

ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριον Σου μόσχους.

καί ὁ Κανών, οὗ ἡ ἀκροστιχίς
Μετανοίας δεῖξον μοι τρίβους, Μαρία. Χ. Μ'.

Ἦχος πλ. δ΄.Ωδή α΄. Ὑγράν διοδεύσας.
Μαρία ὁσία, Χριστοῦ λαμπάς πυρφόρε, εἰκόνας τῶν παθῶν μου ἐκ τῆς ἐμῆς ψυχῆς ταῖς ἀπαύστοις σου πρεσβείαις πρός ὄν ἠγάπησας τάχος ἐξάλειψον.

Ἐν κόλποις, Μαρία, τοῦ Ἀβραάμ σκηνώσασα χάριν εὗρες Κύριον δυσωπεῖν, ὑπέρ ἱκετῶν σου τῶν ποθούντων, εὐαρεστήσαι Αὐτῷ ἔργοις πρέπουσι.

Τόν βίον μου, οἴμοι, ἐν ἡδοναῖς ἀσώτως ὁ τάλας δαπανήσας νῦν ἐκζητῶ, ὁσία Μαρία, τάς εὐχάς σου, ἶνα σωθῶ πρός τόν μόνον Φιλάνθρωπον.
Θεοτοκίον.

Ἀπόκρουσον πάσας τάς προσβολάς ἐχθροῦ τοῦ βεβήλου προσευχαῖς σου ταῖς ῥυπτικαῖς, Ἁγνῇ, πρός ὄν ἔτεκες αφράστως, καί ζοφερῶν περιστάσεων ρύσαί με.

Ὠδή γ΄. Οὐρανίας ἀψῖδος.
Νῦν προσπίπτω σοι, Μῆτερ, αναβοών, πρόφθασον, Αἰγυπτίων εὖχος, Μαρία, καί ἀνακούφισον ἐκ κατωδύνων παθών τόν σε προφρόνως ὑμνοῦντα ὡς ἐρήμου ἴασμον ἄγαν ἡδύπνευστον.

Ὁλοτρόπως θελχθεῖσα τῷ τοῦ Χριστοῦ ἔρωτι καί τοῦ Παρακλήτου ῥωσθεῖσα σθένει κατῄσχυνας, Μαρία, τόν δυσμενῆ, οὗ καί ἡμᾶς ἀποκρούσαι τούς πιστούς ἀξίωσον βέλη τά πύρινα.

Ἰορδάνου, Μαρία, τοῖς ἱεροῖς νάμασι βίου ἀποπλύνασα ῥύπον ἄφθορον ἔνδυμα περιεβλήθης λαμπρόν τῆς σωστικῆς μετανοίας γενομένη πρέσβειρα πάντων πρός Κύριον.

Θεοτοκίον.
Ἀσυγχύτως, Παρθένε, ὁ τοῦ παντός αἴτιος ἐξ ἁγνῶν αἱμάτων σου σῶμα, Δέσποινα, βρότειον λαβών τό γένος ἡμῶν ἐκ τῆς ἀρχαίας κατάρας ἔσωσε καί ἔδειξε κόσμου σε σώτειραν.

Διάσωσον ἐξ ἐπηρείας τοῦ δαίμονος σούς ἱκέτας, μετανοίας πυρσέ λαμπρέ, Μαρία πανεύφημε, τούς σπεύδοντας πόθῳ ταῖς σαῖς πρεσβείαις.

Ἐπίβλεψον ἐν εὐμενεία, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Αἴτησις καί τό Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.
Μαρία σεπτή, Αἰγύπτου θεῖον βλάστημα, ἐρήμου φωστήρ τοῦ Ἰορδάνου πάμφωτε, μετανοίας πύλας μοι σωτηρίους τάχος ὑπάνοιξον καί τῷ Σωτῆρι πρέσβευε Χριστῷ διδόναι ἐμῶν πταισμάτων ἄφεσιν.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.
Σκοτισθείσαν τοῖς πάθεσι τήν ψυχήν μου, δέομαι, φωταγώγησον ταῖς ἀκτίσι τῶν καμάτων σου τῶν ὑπερφυῶν, Μαρία ἔνδοξε.

Δακρυβρέκτους ἀγῶνας σου τούς ἐν τῇ ἐρήμῳ ἰδών ὁ Κύριος σε, Μαρίᾳ, ἐκραταίωσε καί τῆς μετανοίας βάθρον ἔδειξεν.

Ἐγκρατείας κατέταμες ξίφει τῆς σαρκός σου, ὀρέξεις πάνσεπτε, ἡ σαρκός ἡμῶν σκιρτήματα σαῖς λιταῖς, Μαρία, καταστέλλουσα.

Θεοτοκίον.
Ἱλασμός, Μητροπάρθενε, γένους τῶν μερόπων καί ἀπολύτρωσις πέλεις ὅθεν δυσωποῦμεν σε ἐκ φθοράς τούς δούλους σου ἀνάγαγε.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.
Ξένωσον τόν νοῦν τοῦ ἱκέτου σου συγχύσεως κοσμικῆς, Μαρίᾳ, μῆτερ θαυμαστῇ, ξενοτρόπως ἐν ἐρήμῳ ἡ ἀσκήσασα.

Ὅλῃ καθαρά τῷ Νυμφίῳ σου ἀνέδραμες ὑπαντῆσαι. Ὧ πρεσβεύεις ἐκτενῶς ὑπέρ πάντων, ὦ Μαρία, τῶν τιμώντων σε.

Νέκρωσον ἡμῶν ἁμαρτάδας καί διέγειρον πρός ἀπάθειαν, Μαρία, τούς πιστῶς ὡς ζωῆς σε ἀνυμνοῦντας θείας μέτοχον.

Θεοτοκίον.
Μῆτερ τοῦ Θεοῦ παναμώμητε, ὁρμήματα τῶν παθῶν μου καταπράϋνον ταχύ, καί τόν νοῦν μου πρός ἐγρήγορσιν ἀνάστησον.

Ὠδή ς΄. Τήν δέησιν ἐκχεῶ
Οὐράνιον πολιτείαν, ἔνδοξε, κτησαμένη εὐσεβείας, Μαρία, φωστήρ γεγένησαι καί ἐποπτεύειν κατηξιώθης τόν θρόνον τοῦ Κτίσαντος, πρός Ὃν καί πάντας

τούς πιστῶς σε, ὁσία, γεραίροντας ἕλκυσον.

Ἱκέτευε τόν Χριστόν γενέσθαι με κοινωνόν τῆς οὐρανῶν Βασιλείας, ἡ τῶν ἀχράντων Αὐτοῦ Μυστηρίων ἐκ τῶν χειρῶν κοινωνήσασα, εὔφημε, τοῦ θεοφόρου Ζώσιμα πρίν ἀν ζῆν ἐκμετρήσῃς, πανεύφημε.

Τά ὕδατα Ἰορδάνου, πάνσοφε, διεπέρασας αβρόχως καί ἦλθες τῷ ἱερῷ Ζώσιμα ὑπαντήσαι καί ἱστορήσαι αὐτῷ τήν σήν βίωσιν, Μαρία, πάντων τῶν δεινῶς τρυχομένων χαρά καί ἀντίληψις.

Θεοτοκίον.
Ῥανίδας μου τῶν δακρύων, δέομαι, παναμώμητε, ἀπόσμηξον, Κόρη, τῷ μανδηλίῳ θερμῶν πρεσβειῶν σου πρός τῆς χαράς ἀενάου τόν Κύριον ὁμίχλην λύπης ἀπ' ἐμοῦ ζοφεράς ἀπελαύνουσα τάχιστα.

Διάσωσον ἐξ ἐπηρείας τοῦ δαίμονος σούς ἱκέτας, μετανοίας πυρσέ λαμπρέ, Μαρία πανεύφημε, τούς σπεύδοντας πόθῳ ταῖς σαῖς πρεσβείαις.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ανερμηνεύτως ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον ὡς ἔχουσα μητρικήν παρρησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος δ΄. Τοῖς τῶν αἱμάτων σου.
Ἡ δαπανήσασα βίον τό πρότερον ταῖς ἁμαρτίαις, Χριστοῦ νύμφῃ πάγκαλος λαμπροῖς κατορθώμασιν ὕστερον, Μαρία, ὤφθης, διό χάριν εἴληφας πρεσβεύειν ὑπέρ τῶν τιμώντων σε.

Προκείμενον.
Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι καί εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεως μου.
Στιχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καί ἀγαλλιάσονται ἐπί τῶν κοιτών αὐτῶν.

Εὐαγγέλιον ἐκ τοῦ κατά Ματθαῖον (Κεφ. κε΄ 1-13)
Εἶπεν ὁ Κύριος τήν παραβολήν ταύτην. Ὁμοιωθῇ ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τάς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δέ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καί αἱ πέντε μωραί. Αἵτινες μωραί λαβοῦσαι τάς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾿ ἑαυτῶν ἔλαιον· αἱ δέ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετά τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δέ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καί ἐκάθευδον. Μέσης δέ νυκτός κραυγή

γέγονεν· ἰδού ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καί ἐκόσμησαν τάς λαμπάδας αὐτῶν. Αἱ δέ μωραί ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δέ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καί ὑμῖν· πορεύεσθε δέ μᾶλλον πρός τούς πωλοῦντας καί ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δέ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καί αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τούς γάμους, καί ἐκλείσθη ἡ θύρα. Ὕστερον δέ ἔρχονται καί αἱ λοιπαί παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. Ὁ δέ ἀποκριθείς εἶπεν· ἀμήν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τήν ἡμέραν οὐδέ τήν ὥραν ἐν ᾗ ὁ υἱός τοῦ ἀνθρώπου ἔρχεται.

Δόξα.
Ταῖς τῆς  Σῆς Ὁσίας πρεσβείαις, Ἐλεῆμον , ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στιχ. Ἐλεῆμον, ελέησόν με, ὁ Θεός...
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὀλήν ἀποθέμενοι.
Πόνοις χαλινώσασα ἀσκητικοῖς τῆς σαρκός σου φοβερά σκιρτήματα τῆς ψυχῆς σου φρόνημα τό ἀδάμαστον ἅπασιν ἔδειξας τοῖς πιστοῖς, Μαρία, Ἰορδάνου ἐνδιαίτημα, ὁσίων καύχημα καί ἀσκητριῶν εγκαλλώπισμα• διό καί ταῖς πρεσβείαις σου πάθη καταστέλλειν χαμαίζηλα σε τῶν ἀνυμνούντων καί πόθῳ γεραιρόντων τήν σεπτήν καί πανσεβάσμιον μνήμην σου, οὐρανόθεν εἴληφας.

Σῶσον ὁ Θεός τόν λαόν σου.

Ὠδή ζ΄. Παῖδες Ἑβραίων.
Ἴσχυσας ἀνδρικῶς παλαίσαι παριδοῦσα τῆς σής φύσεως τό χαῦνον κατά τοῦ πονηροῦ, Μαρία, καί βραβεία λαβεῖν τῆς ἄνω κλήσεως, φώς λαμπρόν εσκοτισμένων.

Βίου σου τάς ἀτασθαλίας, θεοφρούρητε, ἀπέλασον, Μαρίᾳ, ἡ ἀχλύν τῶν παθῶν διώξασα δυνάμει τῆς χάριτος καί Ἄγγελος ἐπί γῆς λαμπρός ὀφθεῖσα.

Ὄντως ψυχῆς σου τό ἑδραῖον ἀπεθαύμασεν ὁ Ζωσιμάς, Μαρίᾳ, ὁ γνωστόν εἰς

ἡμᾶς ποιήσας τόν σόν βίον τόν θαυμαστόν, ἀρχέτυπον ψυχοτρόφου μετανοίας.

Θεοτοκίον.
Ὕμνους προσάγω σοι ἀπαύστως, τῇ μητρί τοῦ Λυτρωτοῦ μου καί Θεοῦ μου ἱκετεύων πιστῶς εἰρήνην δώρησαί μοι κατ’ ἄμφω καί ὁμόνοιαν, Μητροπάρθενε Μαρίᾳ.

Ὠδή η΄. Τόν Βασιλέα.
Σταυρόν τόν θεῖον, ὀν ἐν Σίων ἠμποδίσθης θαυμαστώς προσκυνῆσαι προστάτην ἔσχες εἶτα, μῆτερ Μαρία, ἐν ἐρήμῳ.

Μαρίᾳ, κούφως τῷ ποταμῷ Ἰορδάνη χάριν εὗρες πολλήν ἐπιβαίνειν καί ἀεί πρεσβεύειν ὑπέρ τῶν σε ὑμνούντων.

Ἁγιωσύνης ἀδιατάρακτε στῦλε, καθαγίασον πάντας, Μαρίᾳ, σε ὑμνολογοῦντας ὡς βάθρον μετανοίας.

Θεοτοκίον.
Ρερυπωμένον τῇ κοινωνία τοῦ σκότους ἀποκάθαρον, Θεογεννήτορ, καί πρός τοῦ Υἱοῦ σου οδήγησόν με φέγγος.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.
Ἰλύος ἁμαρτίας κάθαρον δυσώδους, κεκαθαρμένη Μαρίᾳ, σούς πρόσφυγας ταῖς πρός Θεόν σου πρεσβείαις, Αἰγύπτου σέμνωμα.

Ἀκοίμητον λαμπάδα θείας μετανοίας κατέγνωμεν σε, Μαρία, διόπερ σε ἀνευφημοῦντες πρεσβείας τάς σάς αἰτούμεθα.

Χριστοῦ μυροδοχεῖον εὔχρηστον, Μαρία, τήν δυσωδίαν παθῶν μου ἐξάλειψον καί πρός λειμῶνας ἀρρήτου ὀσμῆς με ἴθυνον.

Θεοτοκίον.
Μανίας, Θεοτόκε, τοῦ ἐχθροῦ συντήρει ἡμᾶς ἀτρώτους ἐξ ὕψους παρέχουσα, δεδοξασμένη, ἀπαύστως τήν εὐλογίαν σου.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καί τά παρόντα Μεγαλυνάρια,
Χαίροις, μετανοίας ὑπογραμμός, χαίροις, ἀπαθείας καί νηστείας τερπνός λειμών, χαίροις, Ἰορδάνου ἐρήμου ὄρνις θεία, Μαρίᾳ, Αἰγυπτίων κύδος περίλαμπρον.

Τήν μεμεστωμένην ταῖς ἡδοναῖς τῆς πορνείας πρῶτον μελῳδήσωμεν ἐκτενῶς, τήν φανεῖσαν εἶτα πυξίον μετανοίας, Μαρίαν, καί Κυρίου νύμφην πανένδοξον.

Τήν παθῶν κηλῖσι καί ἡδονῶν βεβορβορωμένην, τήν καθάρασαν ἑαυτήν ὕδατι νηστείας καί θείας μετανοίας, Μαρίαν τήν ὁσίαν ἐγκωμιάσωμεν.

Τῆς Αἰγύπτου εὖχος περιφανές, χεύμασι δακρύων καί ἱδρώτων σου ταῖς ῥοαῖς χθόνα τῆς ἐρήμου κατήρδευσας, Μαρία, καί μετανοίας ἄνθη εὔοσμα ἤνθησας.

Εἶδε καί ἐθαύμασε Ζωσιμάς ὁ θεόφρων, μῆτερ, σήν ἰσάγγελον βιοτήν καί τήν σοι οἰκοῦσαν, Μαρίᾳ, θείαν χάριν, δι' ἧς κατηξιώθης βλέπειν τά μέλλοντα.

Παῦσον ἱκεσίαις σου πρός Θεόν τάς ἐπαναστάσεις τοῦ σαρκίου τάς ζοφεράς καί τόν νοῦν, Μαρίᾳ, εἰρήνευσον τῶν πίστει ὑμνούντων ὡς ὁσίων σε ὑποτύπωσιν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετά τῆς Θεοτόκου ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῷ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματος σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομα σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομα Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαγχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

καί τό Ἀπολυτίκιον.
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.
Τόν ποδήρη χιτῶνα τῆς ψυχῆς σου τόν γέμοντα ῥύπου βδελυροῦ τοῖς δακρύων ὀχετοῖς σου ἀπέπλυνας, Μαρίᾳ, ἐνδιαίτημα σεπτόν ἐρήμου, καί αὐτόν ἐπιμελῶς μετανοίας μαργαρίταις καί προσευχῆς σαπφείροις κατεκόσμησας• Δόξα τῷ σε κρατύναντι Χριστῷ, δόξα τῷ σε σωφρονήσαντι, δόξα τῷ δωρουμένῳ διά σου ἡμῖν τά κρείττονα.

Ἕτερον.
Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.
Τόν ῥυπώδη ψυχῆς σου ἀποκαθάρασα χιτῶνα ῥείθροις δακρύων τῆς μετανοίας στολήν ἐνεδύθης θεία χάριτι περίλαμπρον καί Βασιλείας οὐρανῶν ἠξιώθης, θαυμαστῇ Μαρίᾳ, Αἰγύπτου θρέμμα, ἧς καί ἡμᾶς ἀπολαύσαι τούς σε τιμῶντας καταξίωσον.

Ἐκτενής καί Ἀπόλυσις, μεθ' ἥν ψάλλομεν τό ἐξῆς

Ἦχος β ΄. Ὅτε ἐκ τοῦ ξύλου.
Δέχου τάς αἰτήσεις εὐμενῶς τῶν σοι προστρεχόντων, Μαρία, καί δίδου πᾶσιν ἀεί τοῖς πιστῶς προφέρουσι σόν θεῖον ὄνομα εὐλογίαν ὡς ἔχουσα πολλήν παρρησίαν πρός Χριστόν τόν Κύριον, Ὅνπερ λυπήσασα πρῶτον ἁμαρτίαις

ποικίλαις εἶτα κατεφαίδρυνας πόνοις τοῖς ἀσκητικοῖς σου καί τοῖς δάκρυσι.

Δέσποινα, πρόσδεξαι τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου είς σε ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.

Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὅ Θεός ἡμῶν έλέησον ἡμᾶς.
’Ἀμήν.

Δίστιχον
Μετανοίας βάθρον ἀνάδειξον, Μαρίᾳ,
Χαραλάμπη πρεσβείας σάς ἐκζητοῦντα.